TEZAUR LITURGIC

**1 MAI**

**CHIRIL TREHAKIS**

# SLUJBA SF.CUVIOS NICHIFOR DE LA HIOS

**ATENA,2015**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 01 ΜΑΪΟΣ
# ΝΙΚΗΦΟΡΟΣ ΟΣΙΟΣ ΧΙΟΥ
# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Αρχιμ. Κυρίλλου Τρεχάκη Νεαμονήτου**

## ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τοῦ Ὁσίου. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Χαίροις, Νικηφόρε Ὅσιε, τὸν ζωηφόρον σταυρόν, ἐπὶ ὤμων ἀράμενος, ἐν τῷ ὕψει ἔφθασας, τῆς ὀρθῆς τελειότητος· φωτὶ τῷ θείῳ καταφλεγόμενος, τῆς τρισηλίου δόξης ὑπερπληρούμενος· ὄντως ἠξίωσαι, οὐρανίου χάριτος παρὰ Χριστοῦ, τοῦ πᾶσι παρέχοντος, τὸ μέγα ἔλεος.

Χαίροις, Νικηφόρε πάντιμε, ὃς ὑψιβάμῳ νοΐ, ἀπὸ παίδων ἐπόθησας, κόσμον ἀπαρνήσασθαι, καὶ βιοῦν ὥσπερ ἄσαρκος· τῆς θεωρίας ἅμα καὶ πράξεως, μύστης κατέστης ἐρασμιώτατος· μέγας γενόμενος, τῶν πιστῶν διδάσκαλος καὶ τῶν σοφῶν, φίλος ἐπιστήθιος, ἀξιοθαύμαστος.

Χαίροις, Νικηφόρε ἔνδοξε, ἱερωσύνης κανών, σωφροσύνης ὑπόδειγμα, ἀρετῶν τὸ καύχημα, Ἐκκλησίας στερέωμα, τῶν μοναζόντων κῆπος κατάκαρπος, λυχνία πίστεως ἀπαστράπτουσα, σκεῦος

θεότευκτον, μέλος ἐναρμόνιον θεοειδές, γέγονς θεόπνευστε, τοῦ θείου Πνεύματος.

Δεῦτε, πιστῶν τὰ πληρώματα, ἐγκωμιάσωμεν νῦν, Νικηφόρου τὴν πάντιμον, ἐτήσιαν σύναξιν, ἐν ᾠδαῖς τε καὶ ᾄσμασιν· ἀχλὺν κακίας ἀποσοβούμενοι, ὅρμον γαλήνης ψυχῆς διώκοντες· καὶ ἀγαλλόμενοι, πλοῦτον ἀδαπάνητον καὶ ἐντρυφήν, τῆς μακαριότητος, ἀπαρυόμενοι.

Ὢ τῆς στεῤῥᾶς καὶ γενναίας σου, ἀδαμαντίνης ψυχῆς, Νικηφόρε τρισόλβιε, τὰ τοῦ κόσμου ἅπαντα, ὑποπόδιον τέθειται· τῆς μετανοίας κήρυξ γενόμενος, κρατήρ προχέων κρουνοὺς μοτώσεως· καταδροσίζοντας, φρένας καὶ διάνοιαν, τῶν εὐσεβῶς ἐπικαλουμένων σε, Χριστῷ πρεσβείας ποιεῖν.

Θάλασσαν παθῶν ἐκοίμισας, ἀποκαθάρας τὸν νοῦν, παννυχίοις δεήσεσιν, ἐν τοῖς θείοις νάμασι, τῶν δαιμόνων τὰς φάλαγγας, εὐσεβοφρόνως ἀποκρουσάμενος, καὶ τοῖς προσύλοις ἀποταξόμενος· πᾶσιν ἐκήρυττες, ἀγαθοὺς ποιήσατε καρποὺς ζωῆς, ἵνα ἀπολαύσητε, τῆς Βασιλείας Θεοῦ.

*Δόξα. Ἦχος β΄.*

Ἐν φαιδρῷ ἀγαλλιάματι, καὶ ἐν ψαλμοῖς ᾀσματικοῖς, εὐφημήσωμεν Νικηφόρον τὸν ἀοίδιμον, ὅτι τὸν ἀρχέκακον ἐχθρόν, τοῖς ποσὶ κατεπάτησε, καὶ εἰς χάος ἐβύθισεν· εὐσεβείας γὰρ καρπούς, ἑαυτῷ προσκτησάμενος, τὰς ἀσθενείας τῶν παθῶν δι᾽ αὐτῶν ἐθεράπευε, τῶν εὐσεβῶς προσιόντων αὐτῷ· ὅθεν ὑπογραμμὸς θεῖος, μοναστῶν ἀνεδείχθη, καὶ κανὼν

ἀρετῆς ἀκριβέστατος. Δι’ ὃ ἐν παῤῥησίᾳ πρεσβεύει Χριστῷ, σὺν Ἀντωνίῳ τῷ πάνυ, ὑπὲρ τῶν πίσστει καὶ πόθῳ τιμώντων αὐτόν.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Φῶς ἱλαρόν.*

*Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. γ' 1)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ’ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ’ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.(Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.(Κεφ. ε' 15)*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν.

Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*Λιτή. Ἦχος α΄.*

Τί σὲ καλέσωμεν, θεόπνευστε ἱερὲ Νικήφορε; Ὑποφήτην, πρεσβύτερον, μοναστὴν διδάσκαλον, ἢ εὐεργέτην; Ὑποφήτην, ὅτι τὸν μέγαν ἐν τῇ πατρίδι σου ἐνσκήψαντα πέλεκυν προείρηκας. Πρεσβύτερον, ὅτι καθ᾽ ἑκάστην ἡμέρας προσέφερες θυσίαν τῷ Θεῷ ἐν τῷ θυσιαστηρίῳ, ὃ ἀυτὸς ᾠκοδόμησας. Μοναστήν, ὅτι μέγα ἀσκητικὸν Γυμνάσον σανεκρότησας ἐν τῷ σκηνώματί σου. Διδάσκαλον, ὅτι ὡσεὶ κέδρος ἐπλήθυνας τὰ ποίμνια τοῦ Χριστοῦ, ἐν εὐσεβείας πίστεως καῖ δικαιοσύνης. Εὐεργέτην, ὅτι τοῖς δεομένοις καὶ ὀρφανοῖς, μέγας ἐπίκουρος ἐγένου. Δι᾽ ὃ καὶ ἔλαβες παρὰ τοῦ Θεοῦ, ζωὴν τὴν αἰώνιον.

*Δόξα. Ἦχος πλ. β΄.*

Ὅσιε τρισμάκαρ, ἁγιώτατε Πάτερ· τὴν ἀρετὴν ἐπιμελῶς παιδιόθεν παιδιόθεν ἀσκησας, ὄργανον γέγονας τοῦ Ἁγίου Πνεύματος· δι' αὐτοῦ ἐνεργῶν τοῖς νοσοῦσιν ἰάματα· τοῖς θλιβομένοις παραμυθίαν· καῖ ὑετὸν ἐν αὐχμῷ, καὶ πείθων τοὺς ἀνθρώπους καταφρονεῖν τῶν γηΐνων, καὶ αἰτεῖν παρὰ Θεοῦ, εἰρήνην, σωτηρίαν καὶ τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Εἰς τὸν Στίχον. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Ἡ θεοκίνητος λύρα τῶν θείων λόγων σου, ἡ ὑμνῳδὸς τῶν ἄνω, τοῦ Θεοῦ Μυστηρίων, ἀνέμελπεν ἠχοῦσα θεορτεπῶς, Νικηφόρε μακάριε, καὶ διὰ τοῦτο ἡ Χίος μιᾷ φωνῇ, ἐπαξίως μακαρίζει σε.

Στ.: *Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Τῶν αἰσθητῶν τὰς ὁλκάδας νήφων συνέτριψας, ψυχῇ προσεκολλήθης, τῇ Ἁγίᾳ Τριάδι, ἐν ᾄσμασι καὶ ὕμνοις αὐτὴν ὑμνῶν, προσευχαῖς καὶ δεήσεσιν, Ἣ καὶ λατρεύων διδάσκων καὶ ὁδηγῶν, πάντα σῴζεσθαι βουλόμενον.

Στ.: *Πεφυτευμένος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ...*

Τὴν ἐντολὴν τοῦ Σωτῆρος πιστῶς ἐτήρησας, ποιεῖν τε καὶ διδάσκειν, εὐαγγελιζομένου, τὸν θέλοντα βαδίζειν τὰς τρίβους Αὐτοῦ, καὶ ὀρθὰς ἀπεργάσασθαι· ἵνα ἀκούσῃ εὖ δοῦλε ἐμοὶ πιστέ, ἐπαξίως ἀμειβόμενος.

*Δόξα. Ἦχος δ΄.*

Τὴν ἐτήσιον μνήμην σήμερον, ἡ Χίος πᾶσα γεραίρει, Νικηφόρου τοῦ θεοφόρου Πατρός. Ὃς τὸ ἀσκητικὸν στάδιον περιβαλόμενος, ἀνδρείως διήνυσε τῶν ἀρετῶν τὴν κλίμακα, τοὺς θῆρας τοὺς νοητοὺς ἀποσοβήσας, τὸ κατ' εἰκόνα ἁγνὸν διεφύλαξε. Τὸ δοθὲν αὐτῷ τάλαντον ἐπηύξησε, καὶ θαυματουργὸς ἀνεδείχθη. Καὶ νῦν ἐκ δεξιῶν τοῦ Θεοῦ παριστάμενος, πρεσβεύει ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος δ΄. Ὁ ἔνσαρκος ἄγγελος.*

Ἀστὴρ φαεινότατος τῆς Ἐκκλησίας Χριστοῦ, λειμὼν δαψιλέστατος τῆς ἀληθείας Αὐτοῦ, καὶ σάλπιγξ μελίῤῥυτος, δέδειξαι Νικηφόρε, οὐρανόθεν τοῖς θείοις, νάμασι καθηδύνων, τῶν πιστῶν τὰς καρδίας· δι' ὃ πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Τῆς ἑορτῆς. Καὶ Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α΄ στιχολογίαν,*

*Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Νικηφόρου τοῦ θείου ἀνευφημήσωμεν, τὴν πανένδοξον μνήμην πιστῶς γεραίροντες, δι' ἐγκρατείας ἀληθοῦς καὶ ἀκραιφνοῦς ὑπομονῆς,

καταισχύνοντος οἰκτρῶς, τὸν μισόκαλον ἐχθρόν, καὶ πάντας αὐτοῦ τοὺς βρόχους, καὶ νῦν πρεσβεύοντος τῷ Κυρίῳ, ὑπὲρ ἡμῶν ἀεὶ πρὸς Κύριον.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Μετὰ τὴν β΄ στιχολογίαν,*

*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Τῆς Χίου τὸν βλαστόν, Νικηφόρον τὸν θεῖον, τιμῶσιν εὐλαβῶς, μονασταὶ καὶ λευΐται, πρεσβύτεροι διδάσκαλοι, συνδημόται καὶ ἄρχοντες, χῆραι πένητες, καὶ ὀρφανὰ δεομένων, πάσης τάξεως, μεγαλοφώνως βοῶντες, καὶ χεῖρες φιλόπονοι.

*Μετὰ τὸν Πολυέλαιον,*

*Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Ὡς ἀστὴρ ἐξέλαμψεν, ἐν τῇ ἐρήμῳ, διδαχαῖς καὶ ᾄσμασι, καταφωτίζουν τοὺς πιστούς, καὶ θεοπνεύστῳ φρονήματι, προσυπεμφαίνων αὐτοῖς τὰ οὐράνια.

Οἱ Ἀναβαθμοί· τὸ α’ ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Στ.: *Πεφυτευμένος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ...*

Εὐαγγέλιον Ὁσιακόν.

Ὁ Ν΄ ψαλμός.

Δόξα: *Ταῖς τοῦ Σοῦ Ὁσίου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, εὖ ἐργάτα τοῦ ἀμπελῶνος Χριστοῦ· σὺ τὸ βάρος τῆς ἡμέρας καὶ τῆς νυκτὸς ἐβάστασας, καὶ τὸ δοθέν σοι τάλαντον ἐπηύξησας· δι' ὃ καὶ πύλη σοι οὐρανῶν ἠνέωκται· καὶ πρέσβευε ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Εἶτα, οἱ Κανόνες· τῆς Ἑορτῆς καὶ τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς: *Ἅγιος εἶ Κύριε, καὶ Σὲ ὑμνεῖν τὸ πνεῦμά μου.*

*Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.*

Ἀνοίξω τὸ στόμα μου, καθικετεῦσαι τὸν Κύριον, τὸν πάντα βουλόμενον σῶσαι δυνάμενον, προσερχόμενον, Αὐτῷ ἀκολουθῆσαι, καὶ ἆραι γηθόμενον, Αὐτοῦ τὸ ἄροτρον.

Γῆθεν πεποίηται, πᾶν τὸ ἀνθρώπινο φύραμα, ὅθεν ἀνεβλάστησεν ὡς ῥόδον εὔοσμον, καὶ ἀνέθορεν, ὁ θεῖος Νικηφόρος, ἀκτῖσι τοῦ πνεύματος, περιλαμπόμενος.

Ἰσάγγελον ἔσχηκε, νοὸς τὸ πάντιμον φρόνημα, ὑφ' ὃ καθυπέταξε, πάθη τοῦ σώματος, δι' ἀσκήσεων, καὶ μόχθων ανεικάστων, τὸν θεῖον Μακάριον, τύπον ἑλόμενος.

*Θεοτοκίον.*

Ὁ τόκος Σου Δέσποινα, ὑπερφυῶς πεφανέρωται, τῷ κόσμῳ δωρούμενος τὴν ἀπολύτρωσιν, παρεχόμενος, βροτοῖς τὴν σωτηρίαν, τοῖς πόθῳ ὑμνοῦσί Σε, καὶ μακαρίζουσιν.

*ᾨδὴ γ΄. Τοὺς Σοὺς ὑμνολόγους.*

Σταυρῷ κατεπάλαισε τὰ πάθη, δεήσεσι χρώμενος συχναῖς, πρὸς ὕψος ἀναβέβηκε, τῶν ἀρετῶν τὸ τέλειον, τῶν ἀσκητῶν γενόμενος, καὶ μοναζόντων ἐφάμιλλος.

Ἐν ὕμνοις καὶ ᾄσμασιν ἐνθέοις, φωστὴρ ἀνεδείχθη τηλαυγής, καὶ στύλος ἀῤῥαγέστατος, κανὼν δὲ πρακτικώτατος, διὰ παντὸς διήλεγκται, ξυροῦ ὀξέος τομώτερος.

Ἴσον τῷ θείῳ Ἀντωνίῳ, τὸν ζῆλον ἐζήλωσε πιστῶς, Νικηφόρος ὁ πάντιμος, τῆς νίκης ὁ φερώνυμος, ἧς τροπαιοῦχος δέδεικται, εἰς αἰῶνας αἰώνων τιμώμενος.

*Θεοτοκίον.*

Κυρίως καὶ ἀληθῶς Θεοτόκον, καὶ ζῶσαν καὶ ἄφθονον πηγήν, κηρύττομέν Σε πάναγνε, θεοκυῆτορ Δέσποινα, ἡ τοὺς ζοφώδεις δαίμονας, ἐκ τῶν πιστῶν ἀπελαύνουσα.

*Κάθισμα. Ἦχος πλ. δ΄.Τὴν σοφίαν καὶ λόγον.*

Τοῦς θορύβους τοῦ κόσμου καταλιπών, τὸν σταυρὸν τοῦ Κυρίου ἀναλαβών, αὐτῷ ἠκολούθησε, μέχρι τέλους ὁ πάνσοφος· τῆς ἐρήμου πολίτης γενόμενος ἔνθερμος, τῶν πιστῶν τὰς καρδίας ἀρδεύων τοῖς νάμασι, τοῦ Εὐαγγελίου καὶ λόγοις τῆς πίστεως· ὅθεν καὶ τῆς Χίου, τοὺς λαοὺς ἐκδιδάσκων, ἐκάλει ἀντέχεσθαι, ἀνειλίτως τῆς πίστεως, καὶ φυλάττειν ἀμώμητον, αἰτοῦντας Χριστὸν τὸν Θεόν, τῶν

πταισμάτων ἄφεσιν δωρήσασθαι, καὶ παρέχει τοῖς πᾶσι ζωὴν τὴν αἰώνιον.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Ὠδὴ δ΄. Τὴν ἀνεξιχνίαστον.*

Ὕμνοις τὸν Σωτῆρα δοξολογῶν, ὁ τῆς εὐσεβείας ἀκριβέστατος πρόμαχος, πτερωθεὶς πόθῳ, τῇ ἀγάπῃ πρὸς Θεόν, πρὸς Ὃν καὶ ἀνεκραύγαζε· δόξα τῇ δυνάμει Σου Κύριε.

Ῥήμασιν ἐνθέοις οἰκοδομῶν, τὴν τῆς Χίου Ὀρθόδοξον ἄμπελον, ἔργοις καὶ λόγοις, καὶ ἀγρύπνοις προσευχαῖς, προσηύδα πρὸς τὸν Κύριον, νεύειν τὴν ὁμόνοιαν ἅπασιν.

Ἰατρεῖον νόσων πνευματικῶν, ἐν Ῥεστοῖς ὡς ἀκράδαντον ἔρεισμα, ὄργανον ἔφης, Νικηφόρος ὁ σεπτός, ἰώμενος τοὺς μώλωπας, καὶ τὰς προσβολὰς τοῦ ἀλάστορος.

*Θεοτοκίον.*

Ἐνοίκησας ὁ λόγος ἐν Σῇ γαστρί, νέαν κιβωτὸν ἀπειργάσατο· Σὺ γὰρ εἶ ὄντως, ὥσπερ εἶδεν Ἀββακούμ, τὸ ὄρος τὸ κατάσκιον, καὶ λυχνία ἡ πάγχρυσος.

*Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.*

Κυρίου τὸ τάλαντον, ἐν εὐποΐαις ηὔξησεν, ἄριστα τὴν πρᾶξιν ὀχετεύων, τὴν θεωρίαν περιπτυσσόμενος, πάντας προσελκύων τῷ Χριστῷ, δῶρα προσκομίζοντας, τῶν πταισμάτων τὴν ἄφεσιν.

Ἀνάστηθι Κύριε, ἐν τῇ σεπτῇ δυνάμει Σου, ἔκραζεν ὁ θεῖος Νικηφόρος, θραῦσον τὰ θράση, τῶν ἀτιθάστων ἐχθρῶν, τῶν λυμαινομένων ἀσεβῶς, τὸ θυσιαστήριον, τῆς σεπτῆς Ἐκκλησίας Σου.

Ἱκέτιδας ἔτεινε, χεῖρας αὐτοῦ πρὸς Κύριον, ἔρημον οἰκῶν ὥσπερ στρουθίον, ὅμιλον ἔχων, ἐν τῇ καρδίᾳ αὐτῦ, πάντας τοὺς ὁσίως καὶ πιστῶς, ἐνθεαστικώτατα, τῷ Θεῷ λιτανεύοντας.

*Θεοτοκίον.*

Σὺ στέφανον ἔκλεξας, τῷ κόσμῳ ἀχειρόπλοκον, χαῖρέ Σοι κραυγάζομεν Παρθένε· ἔμψυχον ξύλον, τῆς δόξης ἥλιε, οὗ ὁ γλυκασμὸς ζωοποιεῖ, πίστει τοὺς μετέχοντας, καὶ φθορᾷ ὀλισθαίνοντας.

*Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.*

Ἐξόδιον, ὕμνον εὐφρόσυνον, ἐπάδευσα ἡ Χίος εὐφραίνεται, τῆς Νικηφόρου γάρ, τελοῦσα μνήμην σεβάσμιον, στεῤῥῶς ἐρειδομένη τοῖς θείοις δόγμασιν.

Ὑπέταξε, τοῦ κόσμου τὸ μάταιον, ἐμπόδιον αὐτοῦ λογιζόμενος· μεταρσιούμενος, ἀπὸ τῆς γῆς είς τὰ ἄῤῥητα, τῆς οὐρανίου δοξης σκηνώματα.

Μονάς, τὰς οὐρανίους ἐζήλωσεν, Ἠλίαν τὸν Θεσβίτην μιμούμενος, βίον διήνυσεν, ἐνθέσι τρίβοις ἑπόμενος, τοὺς πόνους ὑπομένων καρτερικώτατα.

*Θεοτοκίον.*

Ναός, τοῦ Παρακλήτου γεγένησαι, ἀνύμφευτε Παρθένε πανάσπιλε, χαρᾶς χαρίτωσον, τὸν λογισμὸν

τῶν ὑμνούντων Σε, καὶ ἐπικαλούμενων τὴν Σὴν βοήθειαν.

*Κοντάκιον. Ἦχος δ΄. Ἡ Παρθένος σήμερον.*

Νικηφόρον σήμερον, ἡ Χίος πᾶσα γεραίρει, τὸν σταυρὸν ἀράμενος, τοῦ Ἰησοῦ θαρσαλέως, ἕλκοντα, πρὸς σωτηρίαν τοὺς Ὀρθοδόξους, ᾄδοντα, μετὰ Δικαίων καὶ τῶν Ὁσίων, ἐν ᾠδαῖς ᾄσμασιν ὕμνοις, δόξαν προσφέρειν, τῷ ἐν ὑψίστοις Θεῷ.

*Ὁ Οἶκος.*

Χαῖρε, μυροβόλε Χίος, ἡ θρεψαμένη τὸν ἐν Ὁσίοις διαλάμψαντα Νικηφόρον τὸν νέον οὐρανοφάντορα, ὃς τῆς παιδείας γέγονεν ἐραστής, πλοῦτον καὶ δόξαν ἀποβαλών, καὶ ἔρημον ἐν Ῥεστοῖς οἰκήσας, ἔνθεν τῆς νήσου πάντα περιήει τὰ μέρη, διδάσκων τὸ τῆς Βασιλείας τοῦ Θεοῦ Εὐαγγέλιον· τοῖς πένησι καὶ τοῖς ἐνδεέσιν ἀναργύρως ἐπίκουρος γενόμενος, καὶ τοῖς πᾶσι τὰ πάντα, ἵνα τοὺς πάντας κερδήσῃ ἐν Χριστῷ τῷ Σωτῆρι ἡμῶν. Ὁσίως δὲ διαβιούς, οὐ παύσεται ὕμνοις μέλπων, δόξαν προσφέρειν τῷ ἐν ὑψίστοις Θεῷ.

*Συναξάριον*

Τῇ Α' τοῦ αὐτοῦ Μηνός, Μνήμη τοῦ Ὁσίου Νικηφόρου, Ἱερομονάχου, καὶ Ἱεροδιδασκάλου τοῦ Χίου.

*Νικηφόρον κἂν θανόντα ζῆν λέγειν.*
*Οἱ γὰρ δίκαιοι ζῶσι κἂν τεθνηκότες.*
*Μαΐοιο θάνες, Νικηφόρε, πρώτῃ.*

*ᾨδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.*

Ἐνεπόλισε τὴν ἔρημον τῷ ἔρωτι τῆς θείας χάριτος, καὶ κατεσκήνωσε, τὸν Μέγαν Ἀντώνιον ἀπομιμούμενος, κομιζόμενος, τὰ ἄνθη τὰ οὐράνια, καὶ τὴν τούτου εὐωδίαν.

Ἵνα ῥύσηται ἐκ πλάνης ψυχολέτηρος τοὺς ὀλισθαίνοντας, ἐν τῇ τοῦ Ἅδου ὁδῳ, λειμῶνα ἐστήσατο, πνευματικὸν ἐν Ῥεστοῖς, καὶ ἀνείλκυσεν, ἐκ τοῦ βυθοῦ τοὺς κάμνοντας, ἐκ παντοίων νοσημάτων.

Τίς ἂν ἔβαλε τῆς δόξης τὸ περίβλημα ὃ περιέθετο, καὶ τῆς τιμῆς τὸν βαθμόν; Παρεῖδε γὰρ ἅπαντα, ὥσπερ Ἰὼβ ὁ σοφός, καὶ ἐκήρυττε, κὰν πάγγυμνον γεγέννημαι; Γυμνὸς οὕτω τελευτήσω.

*Θεοτοκίον.*

Οἱ ἀκηρατον Σὲ Κόρην ὀνομάζοντες διακηρύττομεν· χαῖρε ὁ τόμος ἐν ᾧ, δακτύλῳ ἐγγέγραπται, Πατρὸς ὁ λόγος Ἁγνή, Ὃν ἱκέτευε, πάσης νῦν βλάβης ῥύσασθαι, τοὺς πιστῶς Σὲ προσκυνοῦντας.

*ᾨδὴ η΄. Παῖδας εὐαγεῖς.*

Πάντα περιέδραμε, τῆς Χίου τὴν πόλιν τὰς κώμας, τὰ πολισμάτα εὐαγγελιζόμενς, ἅπασι μετάνοιαν, μελλόντων γνῶσιν ἔσχηκε, παρὰ Θεοῦ εἰληφώς, τὸν Κύριον, ὑμνεῖτε κραυγάζων, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Νέφη οὐρανόθεν κατένεγκας, αὐχμὸν ἱκεσίᾳ ἀπεσόβησε, τὴν Χίον λυτρωσάμενος, ἀριδήλου μήνιος, τοῦ Ποιητοῦ τῆς κτίσεως, πρὸς Ὃν καὶ

ἔκραζε· Κύριε, ὑμνοῦμεν καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ἔνειμε τοῖς πένησι τὸ χρῆμα, πᾶν ὅσον παρὰ Κυρίου προσεκτήσατο, θείαις ἀναβάσεσιν, ὤφθη ἐπαιρόμενος, ἀγγελικὰ σκηνώματα, ἕως κατέλαβε· τὸν Κύριον, ὑμνεῖται καὶ κραυγάζων, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὕψωσε τὸ κράτος τοῦ Κυρίου, σηκὸν σωτηρίας πᾶσιν ἵδρυσε, χαίρων ἐκαρτέρησε, σκάμμασιν ἀγῶσί τε, ἀσκητικῶς ἐξέλαμψεν ὡς ὁ Εὐθύμιος, ἐγέρθητε ἐκ σκότους, κραυγάζων καὶ ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Μέγα τὸ μυστήριον Παρθένε, καὶ ξε΄νον ἐν τοῖς ἀνθρώποις ἐναπέφηνε, πάλαι μὲν τυπούμενον, νῦν δὲ ἐνεργούμενον, τὴν οἰκουμένην ἅπασαν ἀγείρει ψάλλουσαν· τὸν Κύριον, ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

*ᾨδὴ θ΄. Ἅπας γηγενής.*

Ἅπας γηγενής, σκιρτάτῳ τῷ πνεύματι λαμπαδουχούμενος, πανηγυριζέτω δέ, ἀνθρώπων φύσις πᾶσα γεραίρουσα, τὸν θαυμαστὸν καὶ ἔνδοξον, ἱεροφάντορα Νικηφόρον, τὸν σοφὸν διδάσκαλον, τὴν ἡδύλαλον γλῶσσαν τῆς χάριτος.

Μώμου ἀμιγής, τὰ πάντα ὑπέταξεν ὁ μυστηπόλος Χριστοῦ, πλοῦτον δόξαν οἴησιν, ὑπὸ τοὺς πόδας, καθάπερ σύβαλα, τῶν ἀρετῶν ἐδίωξε τὸ ἄκρον τέλειον,

Ἀποστόλοις ἔοικεν ὁμότροπος, τῶν Ἁγίων Γραφῶν γνώστης κράτιστος.

Ὄντως ἀψευδής, καὶ λόγοις καὶ πράξεσιν, ἔφυ ὁ πάντιμος· ὁ πιστεύων ἔφασκε, Χριστῷ τῷ ζῶντι πολλὰ ἐργάσεται, ἔργα ἐσθλὰ καὶ μείζονα, καὶ νῦν καὶ ὕστερον, τῶν δαιμόνω πέλων ἀμυντήριον, καὶ παγίδας αὐτῶν ἐκριζούμενος.

*Θεοτοκίον.*

Ὕμνον ἐκ μυχῶν, προσφέρω Σοι Δέσποινα, ὁ πάντων ὕστατος, τόνδε πρὸς ἀπότισιν, φόρου εὐκταίας δοχῆς τῷ μύρῳ σου, ἱεροφάντῃ, κήρυκι καὶ διδασκάλῳ, σοφῷ Νικηφόρῳ τῷ πιστῷ, θεράποντι Ἰησοῦ τοῦ Υἱοῦ Σου, καὶ Πλάστου μου.

*Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.*

Κραταιωθεὶς τῷ πνεύματι, τοῦ Σταυροῦ τῇ δυνάμει, τὴν Ἐκκλησίαν ἔστεψεν, εὐσεβείας ἀγῶσι, Νικηφόρος ὁ θεῖος, οὗ ὁ πάντιμος τάφος, ἐγήγερται περίοπτος, θυμηδίαν παρέχων πᾶσιν ὑμῖν, αἶσχος δὲ καὶ ὄνειδος τοῖς ἀπίστοις, τοῖς μὴ Θεῷ λατρεύουσι, καὶ ἀφρόνως βιουσι.

*Καὶ τὸ τῆς ἑορτῆς.*

*Αἶνοι. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.*

Τοῦ Χριστοῦ ἡ Ἀνάστασις, ὥσπερ ἔαρ εὐφρόσυνον, τοὺς πιστοὺς δροσίζοντα ἐξανέτειλε· δι’ ὃ φλέορτοι δράμωμεν, χαρὰν κομιζόμενοι, προσκυνήσωμεν αὐτόν, ἐκ βαθέων κραυγάζοντες· σοῦ δεόμεθα, ἐκ

δεσμῶν καὶ δουλείας ῥῦσαι πάντας τοῦ ἀλάστορος τυράννου, οὗ τῇ δρακὶ συνεχόμεθα. *(Δίς)*

Τὸν τῆς νίκης φερώνυμον, Νικηφόρον τιμήσωμεν, καὶ κοινὴν πανήγυριν συστησώμεθα· ἰδοὺ γὰρ πάντες συνήλθομεν, ἑστίασιν ᾄδοντες, καὶ χαρὰν πνευματικήν, ἁλουργίδα τιθέμενοι, ταῖς φρεσῖν ἡμῶν, τοὺς ἀγῶνας τοὺς λόγους καὶ τὰς πράξεις, δι᾽ ὧν εἴληφε τῆς δόξης, τὸν ἀμάραντον στέφανον.

Ὥσπερ ἄμπελος εὔκαρπος, ὥσπερ ῥόδον ἡδύοσμον, ἐν τῷ κήπῳ πέφυκε τοῦ Θεοῦ ἡμῶν· γεωπονήσας τὸ τάλαντον, ἐσκόρπισε ἔδωκε, τὴν οὐσίαν ἑαυτοῦ, τὴν φθαρτὴν καὶ ἐπίκηρον, καὶ ἐγένετο, ὁ πατὴρ ὀρφανῶν καὶ πενομένων, καὶ λιμὴν τῆς εὐποιΐας, καὶ ποταμὸς ἀνεξάντλητος.

*Δόξα. Ἦχος πλ. α΄.*

Ἀνέτειλε τὸ ἔαρ τῆς Χίου, ἐπὶ τῇ μνήμῃ τοῦ παμμάκαρος Νικηφόρου· οὗτος γάρ, τῆς φωνῆς τοῦ Κυρίου ἀκούσας, τὸν κόσμον κατέλιπε, τὸν πλοῦτον καὶ τὴν δόξαν εἰς οὐδὲν λογισάμενος· ὅθεν πᾶσιν ἐβόα· ἀγαπήσατε τὸν Θεόν, καὶ εὑρήσετε χάριν αἰώνιον· μηδὲν προτιμήσητε τῆς ἀγάπης Αὐτοῦ, ἵνα τὅαν ἔλθῃ τῇ δόξῃ Αὐτοῦ, εὕρητε ἀνάπαυσιν μετὰ πάντων τῶν Ἁγίων· ὧν ταῖς ἱκεσίαις Χριστέ, ἡμᾶς διαφύλαξον, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

